# 11/08/2020 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΣΠΥΡΙΔΩΝΟΣ

Τῇ ΙΑ´ τοῦ Αὐγούστου μηνός·
Ἀνάμνησις τοῦ ἐν Κερκύρα κατὰ Ἀγαρηνῶν θαύματος, τοῦ ἐν Ἁγίοις Πατρὸς ἡμῶν Σπυρίδωνος τοῦ θαυματουργοῦ.

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

ΙΕΡΕΥΣ: Εὐλογητὸς ὁ Θεὸς ἡμῶν, πάντοτε, νῦν, καὶ ἀεί, καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΑΝΑΓΝΩΣΤΗΣ: Ἀμήν.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν Χριστῷ, τῷ βασιλεῖ ἡμῶν Θεῷ.

Δεῦτε, προσκυνήσωμεν καὶ προσπέσωμεν αὐτῷ Χριστῷ, τῷ βασιλεῖ καὶ Θεῷ ἡμῶν.

Ψαλμὸς ργ´ (103)

Εὐλόγει ἡ ψυχή μου, τὸν Κύριον, Κύριε ὁ Θεός μου ἐμεγαλύνθης σφόδρα.

Ἐξομολόγησιν καὶ μεγαλοπρέπειαν ἐνεδύσω, ἀναβαλλόμενος φῶς ὡς ἱμάτιον.

Ἐκτείνων τὸν οὐρανὸν ὡσεὶ δέῤῥιν, ὁ στεγάζων ἐν ὕδασιν τὰ ὑπερῷα αὐτοῦ.

Ὁ τιθεὶς νέφη τὴν ἐπίβασιν αὐτοῦ, ὁ περιπατῶν ἐπὶ πτερύγων ἀνέμων.

Ὁ ποιῶν τοὺς Ἀγγέλους αὐτοῦ πνεύματα, καὶ τοὺς λειτουργοὺς αὐτοῦ πυρὸς φλόγα.

Ὁ θεμελιῶν τὴν γῆν ἐπὶ τὴν ἀσφάλειαν αὐτῆς, οὐ κλιθήσεται εἰς τὸν αἰῶνα τοῦ αἰῶνος.

Ἄβυσσος ὡς ἱμάτιον τὸ περιβόλαιον αὐτοῦ, ἐπὶ τῶν ὀρέων στήσονται ὕδατα.

Ἀπὸ ἐπιτιμήσεώς σου φεύξονται, ἀπὸ φωνῆς βροντῆς σου δειλιάσουσιν.

Ἀναβαίνουσιν ὄρη, καὶ καταβαίνουσι πεδία εἰς τόπον, ὃν ἐθεμελίωσας αὐτά.

Ὅριον ἔθου, ὃ οὐ παρελεύσονται, οὐδὲ ἐπιστρέψουσι καλύψαι τὴν γῆν.

Ὁ ἐξαποστέλλων πηγὰς ἐν φάραγξιν, ἀνάμεσον τῶν ὀρέων διελεύσονται ὕδατα.

Ποτιοῦσι πάντα τὰ θηρία τοῦ ἀγροῦ, προσδέξονται ὄναγροι εἰς δίψαν αὐτῶν.

Ἐπ᾽ αὐτὰ τὰ πετεινὰ τοῦ οὐρανοῦ κατασκηνώσει ἐκ μέσου τῶν πετρῶν δώσουσι φωνήν.

Ποτίζων ὄρη ἐκ τῶν ὑπερώων αὐτοῦ ἀπὸ καρποῦ τῶν ἔργων σου χορτασθήσεται ἡ γῆ.

Ὁ ἐξανατέλλων χόρτον τοῖς κτήνεσι, καὶ χλόην τῇ δουλείᾳ τῶν ἀνθρώπων.

Τοῦ ἐξαγαγεῖν ἄρτον ἐκ τῆς γῆς καὶ οἶνος εὐφραίνει καρδίαν ἀνθρώπου.

Τοῦ ἱλαρῦναι πρόσωπον ἐν ἐλαίῳ καὶ ἄρτος καρδίαν ἀνθρώπου στηρίζει.

Χορτασθήσονται τὰ ξύλα τοῦ πεδίου, αἱ κέδροι τοῦ Λιβάνου, ἃς ἐφύτευσας.

Ἐκεῖ στρουθία ἐννοσσεύσουσι, τοῦ ἐρωδιοῦ ἡ κατοικία ἡγεῖται αὐτῶν.

Ὄρη τὰ ὑψηλὰ ταῖς ἐλάφοις, πέτρα καταφυγὴ τοῖς λαγῳοῖς.

Ἐποίησε σελήνην εἰς καιρούς ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ.

Ἔθου σκότος, καὶ ἐγένετο νύξ ἐν αὐτῇ διελεύσονται πάντα τὰ θηρία τοῦ δρυμοῦ.

Σκύμνοι ὠρυόμενοι τοῦ ἁρπᾶσαι, καὶ ζητῆσαι παρὰ τῷ Θεῷ βρῶσιν αὐτοῖς.

Ἀνέτειλεν ὁ ἥλιος, καὶ συνήχθησαν, καὶ εἰς τὰς μάνδρας αὐτῶν κοιτασθήσονται.

Ἐξελεύσεται ἄνθρωπος ἐπὶ τὸ ἔργον αὐτοῦ, καὶ ἐπὶ τὴν ἐργασίαν αὐτοῦ ἕως ἑσπέρας.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε, πάντα ἐν σοφίᾳ ἐποίησας, ἐπληρώθη ἡ γῆ τῆς κτίσεώς σου.

Αὕτη ἡ θάλασσα ἡ μεγάλη καὶ εὐρύχωρος, ἐκεῖ ἑρπετὰ ὧν οὐκ ἔστιν ἀριθμός, ζῷα μικρὰ μετὰ μεγάλων.

Ἐκεῖ πλοῖα διαπορεύονται, δράκων οὗτος, ὃν ἔπλασας ἐμπαίζειν αὐτῇ.

Πάντα πρὸς σὲ προσδοκῶσι, δοῦναι τὴν τροφὴν αὐτῶν  εἰς εὔκαιρον δόντος σου αὐτοῖς συλλέξουσιν.

Ἀνοίξαντός σου τὴν χεῖρα, τὰ σύμπαντα πλησθήσονται χρηστότητος ἀποστρέψαντος δέ σου τὸ πρόσωπον, ταραχθήσονται.

Ἀντανελεῖς τὸ πνεῦμα αὐτῶν, καὶ ἐκλείψουσι, καὶ εἰς τὸν χοῦν αὐτῶν ἐπιστρέψουσιν.

Ἐξαποστελεῖς τὸ πνεῦμα σου, καὶ κτισθήσονται, καὶ ἀνακαινιεῖς τὸ πρόσωπον τῆς γῆς.

Ἤτω ἡ δόξα Κυρίου εἰς τοὺς αἰῶνας εὐφρανθήσεται Κύριος ἐπὶ τοῖς ἔργοις αὐτοῦ.

Ὁ ἐπιβλέπων ἐπὶ τὴν γῆν, καὶ ποιῶν αὐτὴν τρέμειν ὁ ἁπτόμενος τῶν ὀρέων, καὶ καπνίζονται.

Ἄσω τῷ Κυρίῳ ἐν τῇ ζωῇ μου, ψαλῶ τῷ Θεῷ μου ἕως ὑπάρχω.

Ἡδυνθείη αὐτῷ ἡ διαλογή μου, ἐγὼ δὲ εὐφρανθήσομαι ἐπὶ τῷ Κυρίῳ.

Ἐκλείποιεν ἁμαρτωλοὶ ἀπὸ τῆς γῆς, καὶ ἄνομοι, ὥστε μὴ ὑπάρχειν αὐτούς. Εὐλόγει, ἡ ψυχή μου, τὸν Κύριον.

Καὶ πάλιν

Ὁ ἥλιος ἔγνω τὴν δύσιν αὐτοῦ ἔθου σκότος, καὶ ἐγένετο νύξ.

Ὡς ἐμεγαλύνθη τὰ ἔργα σου, Κύριε πάντα ἐν σοφίᾳ ἐποίησας.

Δόξα Πατρί... Καὶ νῦν ...

Ἀλληλούϊα, Ἀλληλούϊα, Ἀλληλούϊα. Δόξα σοι ὁ Θεός (ἐκ γ΄).

Ἡ ἐλπὶς ἡμῶν, Κύριε, δόξα σοι.

ΔΙΑΚΟΝΟΣ: Ἐν εἰρήνῃ τοῦ Κυρίου δεηθῶμεν.

ΧΟΡΟΣ: Κύριε, ἐλέησον. [καὶ μετὰ ἀπὸ κάθε αἴτηση]

Ὑπὲρ τῆς ἄνωθεν εἰρήνης, καί τῆς σωτηρίας τῶν ψυχῶν ἡμῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς εἰρήνης τοῦ σύμπαντος κόσμου, εὐσταθείας τῶν ἁγίων τοῦ Θεοῦ Ἐκκλησιῶν, καί τῆς τῶν πάντων ἑνώσεως, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ἁγίου οἴκου τούτου, καί τῶν μετὰ πίστεως, εὐλαβείας, καὶ φόβου Θεοῦ εἰσιόντων ἐν αὐτῷ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῶν εὐσεβῶν καὶ ὀρθοδόξων χριστιανῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ πατρός καὶ Ἀρχιεπισκόπου ἡμῶν (……), τοῦ τιμίου πρεσβυτερίου, τῆς ἐν Χριστῷ διακονίας, παντός τοῦ Κλήρου καί τοῦ Λαοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ εὐσεβοῦς ἡμῶν Ἔθνους, πάσης Ἀρχῆς καὶ Ἐξουσίας ἐν αὐτῷ, τοῦ κατὰ ξηρὰν θάλασσαν καὶ ἀέρα φιλοχρίστου ἡμῶν στρατοῦ, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τῆς πόλεως (Μονής Κώμης) ταύτης, πάσης πόλεως καὶ χώρας καί τῶν πίστει

οἰκούντων ἐν αὐταῖς, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ εὐκρασίας ἀέρων, εὐφορίας τῶν καρπῶν τῆς γῆς καὶ καιρῶν εἰρηνικῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ πλεόντων, ὁδοιπορούντων, νοσούντων, καμνόντων, αἰχμαλώτων καί τῆς σωτηρίας αὐτῶν, τοῦ Κυρίου δεηθῶμεν.

Ὑπὲρ τοῦ ῥυσθῆναι ἡμᾶς ἀπὸ πάσης θλίψεως, ὀργῆς, κινδύνου καὶ ἀνάγκης, τοῦ Κυρίου δεηθῶμεν.

Ἀντιλαβοῦ, σῶσον, ἐλέησον καὶ διαφύλαξον ἡμᾶς, ὁ Θεός, τῇ σῇ χάριτι.

Τῆς Παναγίας, ἀχράντου, ὑπερευλογημένης, ἐνδόξου, Δεσποίνης ἡμῶν Θεοτόκου καὶ ἀειπαρθένου Μαρίας, μετὰ πάντων τῶν Ἁγίων μνημονεύσαντες, ἑαυτοὺς καὶ ἀλλήλους καὶ πᾶσαν τὴν ζωὴν ἡμῶν, Χριστῷ τῷ Θεῷ παραθώμεθα.

ΧΟΡΟΣ: Σοὶ Κύριε.

ΙΕΡΕΥΣ: Ὅτι πρέπει σοι, πᾶσα δόξα, τιμὴ καὶ προσκύνησις, τῷ Πατρὶ καὶ τῷ Υἱῷ καὶ τῷ Ἁγίῳ Πνεύματι, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

ΧΟΡΟΣ: Ἀμήν.

# 11/08/2020 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΣΠΥΡΙΔΩΝΟΣ

## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ

Ἦχος Νη




## ΕΤΕΡΑ




4. Κυ ρι ε ε ε λε η σοο ο ον
5. Κυ ρι ε ε λε ε η σον
6. Κυ ρι ε ε λε ε ε η σον
7. Κυ ρι ε ε λε η σον
8. Κυ ρι ε ε λε η σον
9. Κυ ρι ε ε λε η σον
10. Κυ ρι ε ε λε ε η σον
11. Κυ ρι ε ε λε ε ε η σον
12. Σοι Κυ ρι ε

# 11/08/2020 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΣΠΥΡΙΔΩΝΟΣ

## Εἰς δὲ τὸ Κύριε ἐκέκραξα, ἱστῶμεν στίχους ϛ´ καὶ ψάλλομεν Προσόμοια·

## γ´ Στιχηρὰ Προσόμοια Τῆς ἑορτῆς.

## Τριήμερος ἀνέστης




ε
Κα τευ θυν θη η η τω ω η η προ σευ
χη η η η η η μου ως θυ μι ι α α α
α μα α ε ε ε νω ω ω πι ι ο ο ον σου
ε ε ε πα αρ σι ις των χει ρω ω ω ων
μου θυ σι ι α ε ε σπε ρι ι νη ει σα κου
σο ον μου Κυ υ υ υ υ υ υ υ υ ρι
ε
Ἦχος Δι
Στίχος α'. Ε αν α νο μι ας πα ρα
τη ρη σης Κυ ρι ε Κυ ρι ε τις υ πο
στη σε ται ο τι πα ρα σοι ο ι λα σμος

ε στιν

Μορφούμενος δι᾽ οἶκτον Χριστέ, Ἀδὰμ τὸν πρῶτον ἄνθρωπον, ἐκ Παρθένου, ὤφθης δεύτερος Ἀδάμ, ἐν ὄρει δὲ Σωτήρ μου, Θαβὼρ μετεμορφώθης, παραγυμνῶν σου τήν Θεότητα.

Στίχος β΄. Ε νε κεν του ο νο μα τος

σου υ πε μει να σε Κυ ρι ε υ πε μει

νεν η ψυ χη μου εις τον λο γον σου ηλ

πι σεν η ψυ χη μου ε πι τον Κυ ρι ον

Ἐξέστησαν ὁρῶντες τὴν σήν, τῆς χάριτος οἱ πρόκριτοι, καὶ τοῦ νόμου, Μεταμόρφωσιν Χριστέ, ἐν ὄρει τῷ ἁγίῳ, μεθ᾽ ὧν σε προσκυνοῦμεν, σὺν τῷ Πατρί σου καὶ τῷ Πνεύματι.

Στίχος γ΄. Α πο φυ λα κης πρω ι ας

με χρι νυ κτος α πο φυ λα κης πρω ι ας




Λαμπρύνεται ἡ κτίσις φαιδρῶς, τῇ σῇ Μεταμορφώσει Χριστέ, ἣν τοῖς θείοις, Ἀποστόλοις ἐν Θαβώρ, Μωσεῖ τε καὶ Ἠλίᾳ, ὑπέδειξας Θεὸς ὤν, ἀρρήτως λάμψας ὑπὲρ ἥλιον.

Εἶτα τὰ παρόντα γ΄ τοῦ Ἁγίου.
Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσιν.

Στίχος. Ο τι πα ρα τω Κυ ρι ω
το ε λε ος και πολ λη παρ αυ τω λυ
τρω σις και αυ τος λυ τρω σε ται τον Ισ ρα
ηλ εκ πα σων των α νο μι ων αυ
του

Ἀγαθῶν τὸ ἀκρότατον, σὺ Σπυρίδων ἐπέγνωκας, ὃ καὶ κέντρον εἴληφας ἀξιάγαστε, ἀρθεὶς πυρὶ τῷ τοῦ Πνεύματος, ἐξ οὗ καὶ τῆς χάριτος, ἠξιώθης ὑπὲρ νοῦν· ἀλλ' ἐν γῇ τὸ ἀείζωον, σῶμα ἔδωκας, ἐν τῇ πόλει Κερκύρας ὅ διώκει, ὁρατῶν καὶ ἀοράτων ἐχθρῶν παντοίων συστήματα.

Στίχος. Αἰ νει τε τον Κυ ρι ον παν
τα τα ε θνη ε παι νε σα τε αυ τον

παν τες οι λα οι

**Κ**ερκυραίων τὸ καύχημα, σὲ Σπυρίδων γινώσκομεν, ἀσθενῶν παράκλησιν πνευματέμφορε, καὶ τῶν θαυμάτων πολύῤῥοον, πηγὴν χαριτόβρυτον, νοσημάτων ἰατρόν, τῶν ψυχῶν ἐπανόρθωσιν, καὶ στερέωμα· ἀσεβῶν καὶ βαρβάρων καταλύτην, τῶν τὴν πόλιν σου φρονούντων, πολιορκεῖν ἀξιάγαστε.

Στίχος. Ο τι ε κρα ται ω θη το ε λε ος αυ του εφ η μας και η α λη θει α του Κυ ρι ου με νει εις τον αι ω να

**Ν**οερῶς ἀπεδίωξας, στόλον πάμπολλον Ἅγιε, Ἰσμαὴλ σὺν ἅπασι τοῖς στρατεύμασι, καὶ τοὺς δοκοῦντας αἰχμάλωτον, τὴν πόλιν σου πάνσοφε, σὺν τῇ ποίμνῃ σου λαβεῖν· καὶ ἐθραύθησαν ἄθλιοι αἰσχυνόμενοι, σὺν τοῖς ἅρμασιν, ἵπποι ἀναβάταις, καὶ ἐῤῥύσω ἐκ πολέμου τοὺς σοῦς οἰκέτας πανόλβιε.


Ἦχος Πα.
Κε ε Δο ο ο ξα Πα α τρι ι
ι ι και αι αι Υι ω και α γι ι ω
Πνευ μα α α τι
Πως ουκ ε δει σε Ι ι ι ι ι ε ε ρα
α αρ χα α οι οι οι οι οι οι δι ι ι ι
με σω σαι η μας εκ της των αλ λο φυ υ υ
λων ε ε πι ι ι δρο μης ρυ σα σα α με ε
νον πο ο τε εκ της του λι μου ου πε ε
ε ρι ι στα α α σε ε ε ε ως Συ ο
τυ φλος ομ μα τω ω ω σα ας τυ φλους τους
βαρ βα α ρου ους ε δι ι ι ω ω ω ω ξας

Συ ο νε κραν ε ξε γει ει ει ρα ας θα νον

τας τους αι θι ο ο ο πας ε ε ε ε ε

δει ει ει ει ει ξας και ο τον ο ο φιν εις

χρυ σου ου ουν με ε ε του ου ου σι ι ω ω ω

σας την η μων καρ δι ι ι αν τα ρατ το

με ε ε νη ην εις χα ρα αν με ε ε τε

βα α α λες Σπυ ρι ι ι δων πα α τη η

η ηρ η η η η μων μη πα αυ ση φυ

λα α α α ατ τειν πα α σης αν τι κει με νη

ης προ ο ο σβο λης την πο λιν σου ου ου α α

α α τρω ω ω ω τον

## Καὶ νῦν. Τῆς ἑορτῆς.

Ἦχος Πα



κτη η σου ου με τα μο ορ φω ω σις Πε τρω

Ι ω α α αν νη η και Ι ι α κω ω ω βω πq

οι τι νες την α κτι να του προ σω που σου

μη η η φε ρο ον τες ϛλ και την λαμ προ τη τα

των χι τω νω ων σου ϛλ ε πι προ σω ω πον εις

γην κα τε βα ρυ υ υ υ νο ο ον το Δ οι και

τη εκ στα σει συ νε ε ε χο με ε νοι ϛλ ε

θα αυ μα α ζον βλε πο ον τες Μω υ σην και

Η η λι ι ι αν ϛλ συλ λα λουν τας σοι τα με ελ

λον τα α συ υμ βαι αι αι νει ει ει ειν σοι πq και

φω νη ε εκ του Πα α τρος Δ ε μαρ τυ υ ρει ει


λε ε ε γου ου ου σα ου τος ε στιν ο Υι
ος μου ο ο α γα πη η τος εν ω ε ευ
δο ο ο ο κη η η σα αυ του ου α κου
ου ε ε τε ος τις και δω ρει ται τω ω κο ο ο
σμω το ο ο με γα α ε ε λε ε ο ο ο
ο ο ος

## Εἴσοδος, Φῶς ἱλαρόν

### Ἦχος Δι






## ΤΑ ΠΡΟΚΕΙΜΕΝΑ ΚΑΤΑ ΤΟΝ ΚΑΘΟΡΙΣΜΕΝΟΝ ΗΧΟΝ

## Προκείμενον
## Τῇ Κυριακῇ ἑσπέρας

Ἦχος πλ. α' Νη




Στίχ. Οἱ ἑστῶτες ἐν οἴκῳ Κυρίου, ἐν αὐλαῖς οἴκου Θεοῦ ἡμῶν.



Προκείμενον

Τῇ Δευτέρᾳ ἑσπέρας

Ἦχος δ'

Ἦχος Δι




**Στίχ.** Ἐν τῷ ἐπικαλεῖσθαί με εἰσήκουσάς μου, ὁ Θεός τῆς δικαιοσύνης μου.



Τῇ Τρίτῃ ἑσπέρας. Προκείμενον.
Ἦχος Πα

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω
ξει με πα σας τας η με ρας της ζω ης μου

(Δὶς) Τὸ τρίτον:

**Στίχ:** **Κ**ύριος ποιμαίνει με καὶ οὐδέν με ὑστερήσει· εἰς τόπον χλόης ἐκεῖ με κατεσκήνωσεν.

Το ε λε ος σου Κυ ρι ε κα τα δι ω
ξει με πα σας τας η με ρας της ζω η ης μου
ου ου

## Τῇ Τετάρτῃ ἑσπέρας

## Προκείμενον

### Ἦχος πλ. δ΄ Κε

Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει ει εις με (Δίς)

**Στίχ.** Ὁ Θεός εἰσάκουσον τῆς προσευχῆς μου, ἐνώτισαι τά ῥήματα τοῦ στόματός μου.

Τὸ τρίτον. Ο Θε ος εν τω ο νο μα τι σου σω σον με και εν τη δυ να μει σου κρι νει ει εις με ε ε

## Τῇ Πέμπτῃ ἑσπέρας.
## Προκείμενον

Ἦχος λ̅π̅ Βου

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γην (Δίς)

**Στίχ.** Ἦρα τούς ὀφθαλμούς μου εἰς τά ὄρη, ὅθεν ἥξει ἡ βοήθειά μου.

Τὸ τρίτον.

Η βο η θει α α μου πα ρα Κυ ρι ου του ποι η σαν τος τον ου ρα νο ον και την γη η ην

## Ἑσπέρας Προκείμενον.
## Τῇ Παρασκευῇ Ἑσπέρας

Ἦχος Βαρύς




Στίχ. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν μου, ὁ Θεός, καί ἐκ τῶν ἐπανισταμένων ἐπ᾽ ἐμέ λύτρωσαί με.

Τὸ τρίτον.



*Εἶτα τὰ Ἀναγνώσματα.*

Τῆς Ἐξόδου τὸ Ἀνάγνωσμα.

Εἶπε Μωσῆς τῷ Ἰησοῦ· ἐπίλεξον σεαυτῷ ἄνδρας δυνατοὺς καὶ ἐξελθὼν παρατάξαι τῷ Ἀμαλὴκ αὔριον· καὶ ἰδοὺ ἐγὼ ἕστηκα ἐπὶ τῆς κορυφῆς τοῦ βουνοῦ, καὶ ἡ ῥάβδος τοῦ Θεοῦ ἐν τῇ χειρί μου. Καὶ ἐποίησεν Ἰησοῦς καθάπερ εἶπεν αὐτῷ Μωΰσῆς, καὶ ἐξελθῶν παρετάξατο τὸν Ἀμαλήκ. Καὶ Μωϋσῆς, καὶ Ὢρ ἀνέβησαν ἐπὶ τὴν κορυφὴν τοῦ βουνοῦ. Καὶ ἐγένετο ὅταν ἐπῆρε Μωϋσῆς τὰς χείρας αὐτοῦ κατίσχυνας Ἰσραήλ. Ὅταν δὲ καθῆκε τὰς χεῖρας, κατίσχυεν Ἀμαλήκ. Αἱ δὲ χεῖρες Μωϋσῆ βαρεῖαι. Καὶ λαβόντες λίθον ὑπέθηκαν ὑπ᾽ αὐτόν, καὶ ἐκάθητο ἐπ᾽ αὐτοῦ. Καὶ Ἀαρῶν καὶ Ὢρ ἐστήριζον τὰς χεῖρας αὐτοῦ ἐντεῦθεν εἷς, καὶ ἐντεῦθεν εἷς. Καὶ ἐγένοντο αἱ χεῖρες Μωϋσέως ἐστηριγμέναι ἕως δυσμῶν ἡλίου, καὶ ἐτρέψατο Ἰησοῦς τὸν Ἀμαλήκ, καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν φόνῳ μαχαίρας. Εἶπε δὲ Κύριος πρὸς Μωϋσῆν· κατάγραψον τοῦτο εἰς μνημόσυνον ἐν βιβλίῳ. Καὶ δὸς εἰς τὰ ὦτα Ἰησοῦ, ὅτι ἀλοιφῇ ἐξαλείψω τὸ μνημόσυνον Ἀμαλὴκ ἐκ τῆς ὑπὸ τὸν οὐρανόν. Καὶ ᾠκοδόμησε Μωϋσῆς θυσιαστήριον τῷ Κυρίῳ· καὶ ἐπωνόμασε τὸ

ὄνομα αὐτοῦ, Κύριός μου καταφυγή· ὅτι ἐν χειρὶ κρυφαίᾳ πολεμεῖ Κύριος ἐπὶ Ἀμαλὴν ἀπὸ γενεῶν εἰς γενεάς.

Προφητείας Ἡσαΐου τὸ Ἀνάγνωσμα.

Τάδε λέγει Κύριος· Ἐξ Ἱερουσαλὴμ ἐξελεύσονται οἱ καταλελειμμένοι, καὶ οἱ σωζόμενοι ἐξ ὄρους Σιών. Ὁ ζῆλος Κυρίου Σαβαὼθ ποιήσει ταῦτα. Διὰ τοῦτο οὕτω λέγει Κύριος ἐπὶ Βασιλέα Ἀσσυρίων· Οὐ μὴ εἰσέλθῃ εἰς τὴν πόλιν ταύτην, οὐδὲ μὴ βάλῃ ἐπ᾽ αὐτὴν βέλος, οὐδὲ μὴ ἐπιβάλῃ ἐπ᾽ αὐτὴν θυρεόν, οὐδὲ μὴ κυκλώσῃ ἐπ᾽ αὐτὴν χάρακα, ἀλλὰ τῇ ὁδῷ ᾗ ἦλθεν ὑπ᾽ αὐτῇ ἀποστραφήσεται, καὶ εἰς τὴν πόλιν ταύτην οὐ μὴ εἰσέλθῃ. Τάδε λέγει Κύριος· Ὑπερασπιῶ ὑπὲρ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν δι᾽ ἐμέ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. Καὶ ἐξῆλθεν Ἄγγελος Κυρίου, καὶ ἀνεῖλεν ἐκ τῆς παρεμβολῆς τῶν Ἀσσύρίων ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας, καὶ ἀναστάντες τῷ πρωΐ εὗρον πάντα τὰ σώματα νεκρά. Καὶ ἀπῆλθεν ἀποστραφείς, καὶ ἀπέστρεψε Σαμαχειρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν ἐν Νινευΐ. Καὶ ἐν τῷ αὐτὸν προσκυνεῖν ἐν τῷ οἴκῳ Νασαρὰχ Θεοῦ αὐτοῦ, Ἀδραμέλεχ, καὶ Σαρασὰχ οἱ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν μαχαίραις, αὐτοὶ

δὲ διεσώθησαν εἰς Ἀρμενίαν, καὶ ἐβασίλευσεν Ἀσορδὰμ ὁ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα.

(ε΄ 15-23, στ΄ 1-3).

Δίκαιοι εἰς τὸν αἰῶνα ζῶσι, καὶ ἐν Κυρίῳ ὁ μισθὸς αὐτῶν, καὶ ἡ φροντὶς αὐτῶν παρὰ Ὑψίστῳ. Διὰ τοῦτο λήψονται τὸ βασίλειον τῆς εὐπρεπείας, καὶ τὸ διάδημα τοῦ κάλλους ἐκ χειρὸς Κυρίου· ὅτι τῇ δεξιᾷ αὐτοῦ σκεπάσει αὐτούς, καὶ τῷ βραχίονι ὑπερασπιεῖ αὐτῶν. Λήψεται πανοπλίαν τὸν ζῆλον αὐτοῦ καὶ ὁπλοποιήσει τὴν κτίσιν εἰς ἄμυναν ἐχθρῶν. Ἐνδύσεται θώρακα δικαιοσύνην καὶ περιθήσεται κόρυθα κρίσιν ἀνυπόκριτον. Λήψεται ἀσπίδα ἀκαταμάχητον, ὁσιότητα· ὀξυνεῖ δὲ ἀπότομον ὀργὴν εἰς ῥομφαίαν. Συνεκπολεμήσει αὐτῷ ὁ κόσμος ἐπὶ τοὺς παράφρονας· πορεύσονται εὔστοχοι βολίδες ἀστραπῶν, καὶ ὡς ἀπὸ εὐκύκλου τόξου, τῶν νεφῶν, ἐπὶ σκοπὸν ἁλοῦνται, καὶ ἐκ πετροβόλου θυμοῦ πλήρεις ῥιφήσονται χάλαζαι. Ἀγανακτήσει κατ᾽ αὐτῶν ὕδωρ θαλάσσης· ποταμοὶ δὲ συγκλύσουσιν ἀποτόμως. Ἀντιστήσεται αὐτοῖς πνεῦμα δυνάμεως, καὶ ὡς λαῖλαψ ἐκλικμήσει αὐτούς, καὶ ἐρημώσει πᾶσαν

τὴν γῆν ἀνομία, καὶ ἡ κακοπραγία περιτρέψει θρόνους δυναστῶν. Ἀκούσατε οὖν, Βασιλεῖς, καὶ σύνετε· μάθετε Δικασταὶ περάτων γῆς· ἐνωτίσασθε οἱ κρατοῦντες πλήθους, καὶ γεγαυρωμένοι ἐπὶ ὄχλοις ἐθνῶν· ὅτι ἐδόθη παρὰ Κυρίου ἡ κράτησις ὑμῖν, καὶ ἡ δυναστεία παρὰ Ὑψίστου.

## Εἰς τὴν Λιτήν,
## Στιχηρὰ Ἰδιόμελα.
## Ἦχος β΄.

Ἦχος Δι






Ἀρχιερέων καλλονή, σῶμα σὸν ζωηφόρον Κέρκυρα ἐκτήσατο. Καὶ αὕτη σοι χαίρει τὰς ἰάσεις λαμβάνουσα, καὶ τὰ παράδοξα τῶν θαυμάτων κηρύττουσα, ὡς ἀνδρικὸς γὰρ ἀντέστης τῷ ἐχθρῷ τῆς εὐσεβείας ἀήττητε.

Ὅμοιον.

Ταῖς ἀρεταῖς διαπρέψας Σπυρίδων πανένδοξε, ἐν βίῳ οὐρανίῳ ἐφρόνεις, τῶν φθαρτῶν καὶ γεηρῶν ἀμελήσας, ἀρχιερωσύνης τὸ στέφος ἀναλαβών, γενναιοτάτως ὑπὲρ τοῦ σοῦ ἐνήθλησας ποιμνίου. Μὴ τῆς ψυχῆς σου φεισάμενος ὑπὲρ τῶν σῶν προβάτων ἀείμνηστε.

Ὅμοιον.

Τὰς ἀρετὰς ἐποιήσω τρισόλβιε, βαθμοὺς πρὸς λῆξιν οὐράνιον. Χριστὸς δὲ σὲ μάκαρ τῷ τῆς ἀρχιερωσύνης θρόνῳ ἀνεβίβασε. Τριμυθοῦντος Ποιμένα ἀξίως δεικνύων σε. Νῦν δὲ τὸ σὸν ζωοπάροχον σκῆνος, θεοδώρητον δῶρον ἡ Κέρκυρα θαυμάζεται, καὶ τὸν ἐν τοῖς ὑπερφυέσι θαύμασι ἑκάστην ἀγάλλεται, ὕμνους, σοὶ τῷ λυτρωτῇ ἡμῶν παννυχίους ἐκπέμπουσα.

Δόξα. Ἦχος δ΄.

Τίς σοι κατ᾽ ἀξίαν τοὺς αἴνους προσφέρει, Σπυρίδων θαυμάσιε; Ἤ τίς τῶν θαυμάτων σου σεμνῶς διηγήσεται; Ἔπρεψας ἐν τῷ βίῳ ἀγγελικῶς ἐκβιώσας. Ἄγρυπνος μετὰ πότμον τοὺς πιστοὺς περισκέπεις. Χαίρει Νίκαια τροπαιοῦχον αἱρετικῶν σε δοξάζουσα. Χαίρει Κέρκυρα ὀλετῆρα Ἰσμαηλιτῶν σε γνωρίζουσα. Τίς δὲ ἀόπλοις χερσὶν ἀπώσατο τοὺς βαρβάρους; Σπυρίδων ὁ τῆς νήσου φρουρός, καὶ τοῦ Χριστοῦ ἱεράρχης γνήσιος. Ὦ πρεσβεύει δωρηθῆναι τῇ τῶν πιστῶν πολιτείᾳ εἰρήνην καὶ ἔλεος.

Καὶ νῦν. Τῆς ἑορτῆς.


Ἦχος Νη
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε λε η σον
Κυ ρι ε ε λε η σον
Πα ρασχου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου ου Κυ ρι ε
Πα ρα σχου Κυ ρι ε
Πα ρα σχου Κυ υ υ ρι ε




Ἦχος λπ ϥ̈ Ἐναρμόνιος




Κυ ρι ε ε λε ε ε η σον
Πα ρασχου Κυ ρι ε
Πα ρασχου Κυ ρι ε
Πα ρασχου Κυ ρι ε
Πα ρασχου Κυ υ ρι ε
Πα ρασχου Κυ υ ρι ε
Πα ρασχου Κυ ρι ε

# 11/08/2020 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΣΠΥΡΙΔΩΝΟΣ

## Εἰς τὴν Ἀρτοκλασίαν

Ἐπιλογές παρά διαφόρων Διδασκάλων




## ΚΥΡΙΕ ΕΛΕΗΣΟΝ ΑΓΙΟΡΕΙΤΙΚΟ ΗΧΟΣ ΠΛ. Α΄



# 11/08/2020 ΕΣΠΕΡΙΝΟΣ ΑΓΙΟΥ ΣΠΥΡΙΔΩΝΟΣ

## Θεοτόκε Παρθένε

Ἦχος Κε




ων
Πλου σι οι ε πτω χευ σαν και ε πει
να σαν οι δε εκ ζη τουν τες τον Κυ ρι ον
ουκ ε λατ τω ω θη σον ται παν το ος
α γα θου
Το τέλος τοῦ τρίτου.
παν το ος α γα
θου ου ου ου ου ου ου

Στιχηρά. Ἦχος α'.
Τῶν οὐρανίων ταγμάτων.

Ἐν ταῖς τοῦ Πνεύματος θείαις, λελαμπρυσμένος αὐγαῖς, σαφῶς ἀνακηρύττεις, τῶν θαυμάτων τὰ ξένα, τὴν δύναμιν τοῦ λόγου διατρανῶν, τοῖς ἐν ἔθνεσι σήμερον, τοὺς ἐν βυθῷ ἀσεβείας ἀποσωβῶν, περισκέπεις τὸ σὸν ποίμνιον.

Στίχος. Οι Ι ε ρεις σου Κυ ρι ε εν δυ σον ται δι και ο συ νην και οι ο σι οι σου α γαλ λι α σον ται

Σὺ τοῖς τοῦ Πνεύματος ὅπλοις, ὑπερμαχήσας σοφέ, ἀπεδιώξω Ἄγαρ, τοὺς υἱοὺς τοὺς αὐθάδεις. Θεῖον δὲ στρατιώτην καὶ στερεόν, τῆς Κέρκυρας ἀδάμαντα, καὶ θεοκήρυκα ἅμα τῶν τοῦ Χριστοῦ, θαυμασίων σε δοξάζομεν.

Στίχος. Μα κα ρι ος α νηρ ο φο βου με νος τον Κυ ρι ον εν ταις εν το




Χαρίτων Πάτερ ἀῤῥήτων, γέγονας ἔμπλεως, σοῦ γὰρ τὸ θεῖον σκῆνος, ἐπιχέει χειμάῤῥους, μάκαρ παραδόξως τὰ τῶν ἐχθρῶν, καταπνίγων συστήματα· τῶν δὲ πιστῶν τὰς καρδίας φωταγωγεῖ, ταῖς ἐμπνεύσεσι τῆς χάριτος.


Ἦχος Νη
Δό ξα Πα α α τρι ι και Υἱ υι
ω ω και α γι ι ω ω Πνε ε ε ε ε ευ
μα α α α α Πνε ευ μα τι
Την πνευ μα τι κην ο πλι σα με νο ος
μα χαι αι ραν ο με ε ε γας των Κερ κυ ραι
αι ων στρα α τη η γος των της Α γαρ παι
δων το κρα α α τος δι ι ε ε ε ε λυ υ υ
υ σε και αι τον πι στον λα ον ως ποι μη
ην α λη η θι ι νος δι ι ε σω ω ω ω ω
σα α α α το Δι ι ο και νι κη την α
νε δει ξε τρο παι αι ου ου ου ου ου ου ου χον




Καὶ νῦν ... Τῆς ἑορτῆς.

Ἦχος δ'


Ἦχος Πα
Και νυ υ υ υν και α α α ει
και εις τους αι ω νας των αι ω ω ω ω
νω ων Α α α μην
Εις ο ο ρος υ ψη η λον με τα μορ φω
θει ει εις ο Σω ω τηρ τους κο ρυ φαι ους ε
χων των μα θη των εν δο ξω ως ε ε ξε ε ε
λα α α αμ ψας δη λων ο τι οι εν υ ψει
των α ρε των δι α α α πρε ψα αν τες και
της εν θε ου δο ξης α ξι ι ω ω θη η η
σο ο ο ον ται συλ λα λουν τες δε τω Χρι ι
στω Μω υ σης και Η η λι ι ι ας ε δει


κνυ υ ον ο ο ο τι ι ζω ω ων των και
νε ε κρω ω ων κυ υ ρι ε ε ευ ει και ο
πα λαι δι α νο ο μου και Προ φη των λα λη
η η η σα ας υ πη η η ηρ χε Θε ε ος
ω και φω νη η η η του Πα α τρος εκ νε
φε ε λης φω τει ει νης ε μαρ τυ υ ρει
ει λε ε ε γου ου ου σα αυ του α α
α κου ε ε τε του δι α σταυ ρου τον Α δην
σκυ υ υ λευ σα αν τος και νε κροις δω ρου με
νου ζω η η ην την αι αι ω νι ι ο ο ο
ο ο ον

ΙΕΡΕΥΣ: Νῦν ἀπολύεις τον δοῦλόν σου, Δέσποτα, κατὰ τὸ ῥῆμά σου, ἐν εἰρήνῃ, ὅτι εἶδον οἱ ὀφθαλμοί μου τὸ σωτήριόν σου, ὃ ἡτοίμασας κατὰ πρόσωπον πάντων τῶν λαῶν, φῶς εἰς ἀποκάλυψιν ἐθνῶν, καὶ δόξαν λαοῦ σου Ἰσραήλ.

Ὁ Ἀναγνώστης: Ἅγιος ὁ Θεός, Ἅγιος Ἰσχυρός, Ἅγιος Ἀθάνατος, ἐλέησον ἡμᾶς. (ἐκ γ΄).

Δόξα Πατρὶ... Καὶ νῦν...

Παναγία Τριάς, ἐλέησον ἡμᾶς.

Κύριε, ἱλάσθητι ταῖς ἁμαρτίαις ἡμῶν,

Δέσποτα, συγχώρησον τὰς ἀνομίας ἡμῖν.

Ἅγιε, ἐπίσκεψαι καὶ ἴασαι τὰς ἀσθενείας ἡμῶν, ἕνεκεν τοῦ ὀνόματός σου.

Κύριε, ἐλέησον, Κύριε, ἐλέησον, Κύριε, ἐλέησον.

Δόξα Πατρὶ... Καὶ νῦν...

Πάτερ ἡμῶν ὁ ἐν τοῖς οὐρανοῖς, ἁγιασθήτω τὸ ὄνομά σου, ἐλθέτω ἡ βασιλεία σου, γενηθήτω τὸ θέλημά σου, ὡς ἐν οὐρανῷ, καὶ ἐπὶ τῆς γῆς. Τὸν ἄρτον ἡμῶν τόν ἐπιούσιον δὸς ἡμῖν σήμερον, καὶ ἄφες ἡμῖν τὰ ὀφειλήματα ἡμῶν, ὡς καὶ ἡμεῖς ἀφίεμεν τοῖς ὀφειλέταις ἡμῶν, καὶ μὴ εἰσενέγκῃς ἡμᾶς εἰς πειρασμόν, ἀλλὰ ῥῦσαι ἡμᾶς ἀπὸ τοῦ πονηροῦ.

ὁ ἱερεύς:

Ὅτι σοῦ ἐστὶν ἡ βασιλεία καὶ ἡ δύναμις καὶ ἡ δόξα τοῦ Πατρὸς καί τοῦ Υἱοῦ καί τοῦ Ἁγίου Πνεύματος, νῦν καὶ ἀεὶ καὶ εἰς τοὺς αἰῶνας τῶν αἰώνων.

**ΧΟΡΟΣ:** Ἀμήν.

## ΑΠΟΛΥΤΙΚΙΟ


Ἦχος Δι
Ὡς των ορ θο δο ξων υ πε ερ
μα χος και παν των των α α πι στων α
ντι ι πα λον παμ μα κα ρι στε Σπυ ρι δων
υ μνου ου μεν σε και δυ σω που μεν σε φυ
λατ τειν την πο ο λιν σου πα σης ορ μης βαρ
βα ρων α με ε το χον

## Δόξα Πατρὶ... Καὶ νῦν...τῆς ἑορτῆς

Ἦχος Γα



ΙΕΡΕΥΣ: Σοφία!

ΧΟΡΟΣ: Εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ὢν εὐλογητὸς Χριστὸς ὁ Θεὸς ἡμῶν , πάντοτε νῦν καὶ ἀεὶ καὶ εἰς τους αἰῶνας τῶν αἰώνων.

Ὁ Ἀναγνώστης: Ἀμήν. Στερεώσαι, Κύριος ὁ Θεός, τὴν ἁγίαν ἀμώμητον πίστιν τῶν εὐσεβῶν καὶ ὀρθοδόξων Χριστιανῶν, σὺν τῇ ἁγίᾳ αὐτοῦ Ἐκκλησίᾳ καὶ τῇ πόλει (ἢ τῇ μονῇ, ἢ χώρᾳ, ἢ τῇ νήσῳ) ταύτῃ εἰς αἰῶνας αἰώνων. Ἀμήν.

ΙΕΡΕΥΣ: Ὑπεραγία Θεοτόκε σῶσον ἡμᾶς.

Ὁ Ἀναγνώστης: Τὴν Τιμιωτέραν τῶν Χερουβείμ, καὶ ἐνδοξοτέραν ἀσυγκρίτως τῶν Σεραφείμ, τὴν ἀδιαφθόρως Θεὸν Λόγον τεκοῦσαν, τὴν ὄντως Θεοτόκον, σὲ μεγαλύνομεν. Ἐν ὀνόματι Κυρίου εὐλόγησον, Πάτερ.

ΙΕΡΕΥΣ: Δόξα σοι, Χριστὲ ὁ Θεός, ἡ ἐλπὶς ἡμῶν, δόξα σοι.

Ὁ Ἀναγνώστης: Δόξα... Καὶ νῦν... , Κύριε ἐλέησον (γ΄), Πάτερ ἅγιε, εὐλόγησον.

ΙΕΡΕΥΣ: Ὁ ἐν τῷ ὄρει τῷ Θαβώρ μεταμορφωθείς ἐν δόξῃ ἐνώπιον τῶν ἁγίων αὐτοῦ μαθητῶν καί Ἀποστόλων, Χριστός ὁ ἀληθινὸς Θεὸς ἡμῶν ταῖς πρεσβείαις τῆς

παναχράντου καὶ παναμώμου ἁγίας Αὐτοῦ μητρός, δυνάμει τοῦ τιμίου καὶ ζωοποιοῦ Σταυροῦ, προστασίαις τῶν τιμίων ἐπουρανίων Δυνάμεων ἀσωμάτων, ἱκεσίαις τοῦ τιμίου, ἐνδόξου, προφήτου Προδρόμου καὶ Βαπτιστοῦ Ἰωάννου, τῶν ἁγίων, ἐνδόξων καὶ πανευφήμων Ἀποστόλων, τῶν ἁγίων ἐνδόξων καὶ καλλινίκων Μαρτύρων, τῶν ὁσίων καὶ θεοφόρων Πατέρων ἡμῶν, τῶν ἁγίων καὶ δικαίων θεοπατόρων Ἰωακεὶμ καὶ Ἄννης, καὶ πάντων τὸν Ἁγίων, ἐλεήσαι καὶ σώσαι ἡμᾶς, ὡς ἀγαθὸς καὶ φιλάνθρωπος καὶ ἐλεήμων Θεός.

Τόν Εὐλογοῦντα...




Τὸν Δεσπότην καί Ἀρχιερέα




ΙΕΡΕΥΣ: Δι᾽ εὐχῶν των ἁγίων Πατέρων ἡμῶν, Κύριε Ἰησοῦ Χριστέ, ὁ Θεὸς ἡμῶν, ἐλέησον καὶ σῶσον ἡμᾶς.

Ὁ Χορός: Ἀμήν.

Ἡ Μεταφορὰ Κειμένων - Καλλιτεχνικὴ ἐπιμέλεια
ἔγινε μὲ τὸ πρόγραμμα «Μελῳδός»
τοῦ κ. Σάββα Παπαδόπουλου
www.melodos.com
ἀπὸ τὸν Βασίλειο Κιαμηλίδη
Ἱεροψάλτη στὸν Ι.Ν. Ἁγίου Γεωργίου Κουλούρας Βέροιας.